13 ταῖσιν δὲ μετέπˈρεπεν εἴδω-
λον θρασυμέμνονος ἐγ-
χεσπάλου Πορθανίδα·
1 τὸν δ᾽ ὡς ἴδεν ᾿Αλκμήνιος θαυμαστὸς ἥρως
τεύχεσι λαμπόμενον,
3 νευρὰν ἐπέβασε λιγυκˈλαγγῆ κορώνας,
χαλκεόκˈρανον δ᾽ ἔπειτ᾽ ἐξ
5 εἵλετο ἰὸν ἀναπτύ-
ξας φαρέτˈρας πῶμα· τῶι δ᾽ δ᾽ ἐναντία
7 ψυχὰ προφάνη Μελεάγˈρου,
καί νιν εὖ εἰδὼς προσεῖπεν·
9 „υἱὲ Διὸς μεγάλου,
στᾶθί τ᾽ ἐν χώρᾱι, γελανώσας τε θυμόν

Γ′
1 μὴ ταὔσιον προΐει
τραχὺν ἐκ χειρῶν ὀϊστόν
3 ψυχαῖσιν ἔπι φθιμένων·
οὔ τοι δέος.“ ὣς φάτο· θάμβησεν δ᾽ ἄναξ
5 ᾿Αμφιτρυωνιάδας,
εἶπέν τε· „τίς ἀθανάτων
7 ἢ βροτῶν τοιοῦτον ἔρνος
θρέψεν ἐν ποίᾱι χθονί;
9 τίς δ᾽ ἔκτανεν; ἦ τάχα καλλίζωνος Ἥρα
κεῖνον ἐφ᾽ ἁμετέρᾱι
11 πέμψει κεφαλᾶι· τὰ δέ που
col 13 (9) Παλλάδι ξανθᾶι μέλει.“
13 τὸν δὲ πˈροσέφα Μελέαγˈρος

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40836470X/24 UNIVERSITÄT LEIPZIG